eul_wid: fci-ab

*Ὑπερείδης ὁ ῥήτωρ* · Hypereides the Orator

# Against Demosthenes-Harpalus

*Κατὰ Δημοσθένους ὑπὲρ τῶν Ἁρπαλείων*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Λόγος* Oration

Athen t [ΚΑΤΑ ΑΘΗΝΟΓΕΝΟΥΣ Α.] αὐτ]ήν.

Athen 1 εἰπόντος δέ μου πρὸς αὐτὴν τά τε πραχθέ]ντα, καὶ ὅτι μοι Ἀθηνογένης χαλεπὸς] εἴη καὶ οὐδὲν ἐθέλοι τῶν μετρίων συγ]χωρεῖν, τοῦτον μὲν ἔφη ἀεὶ τοιοῦτον εἶν]αι, ἐμὲ δ’ ἐκέλευε θαρρεῖν· αὐτὴ γάρ μοι πά]ντα συναγωνιεῖσθαι. καὶ ταῦτ’ ἔλεγεν σπο]υδάζουσά τε τῶι ἤθει ὡς ἔνι μάλιστα, καὶ] ὀμνύουσα τοὺς μεγίστους ὅρκους, ἦ μὴν με]τ’ εὐνοίας τῆς ἐμῆς λέγειν καὶ ἐπὶ πάση]ς ἀληθείας, ὥστ’ ἐμὲ ὦ ἄνδρες δικασταί (ῥηθ]ήσεται γὰρ πρὸς ὑμᾶς τἀληθές) ταῦτα π]επεῖσθαι. οὕτως ὡς ἔοικεν ἐξίστησιν ἀνθρώπου] φύσιν ἔρως, προσλαβὼν γυναικὸς συνεργ]ίαν. ἐκείνη γοῦν φενακίζουσα ἅπαντ]α ταῦτα προσπεριέκοψε[ν α]ὑτῆι ἔτ]ι εἰς παιδίσκην τριακοσίας δραχμὰς εὐν]οίας ἕνεκα. ἴσως μὲν οὖν ὦ ἄνδρες δικασ]ταὶ οὐ[δ]ὲν θαυμαστόν με ὑπὸ Ἀντιγόν]α[ς] τὸν τρόπον τουτονὶ παιδαγωγηθῆ]να[ι], γυναι[κ]ὸς ἣ δεινοτάτη μὲν τῶν] ἑταιρῶν ὥς φασιν ἐφ’ ἡλ[ικί]ας ἐγένετο, διατ]ετέλεκε δὲ πορνοβοσκοῦσα ................ π ....... τ . θν . ............. οἶκον τοῦ Χολλείδου οὐδενὸς ἐλά]ττω ὄντα ἀνήιρηκεν. καίτοι ὅπου καθ’ ἑα]υτὴν οὖσα τοιαῦτα διεπράττετο, τί οἴεσ]θ’ αὐτὴν νῦν ἐν[νο]εῖν, προσλαβοῦσαν συ]ναγωνιστὴν Ἀθηνογένην, ἄνθρωπον λογογράφον τε καὶ ἀγοραῖον, τὸ δὲ μέγιστον Αἰγύπτιον; τέλος δ’ οὖν, ἵνα μὴ μακρολογῶ, μεταπεμψαμέν[η] γάρ με πάλιν ὕστερον εἶπεν, ὅτι πολλοὺς λόγους ἀναλώσασα πρὸς τὸν Ἀθηνογένην μόλις εἴη συμπεπεικ[υ]ῖα αὐτὸν ἀπολῦσαί μοι τόν τε Μίδαν κα[ὶ τ]οὺς υἱεῖς ἀμφοτέρους τετταράκοντα μνῶν, καὶ ἐκέλευέ με τὴν ταχίστην πορίζειν τὸ ἀργύριο[ν], πρὶν μεταδόξαι τι Ἀθηνογένει.

Athen 2 συναγαγὼν δ’ ἐγὼ πανταχόθεν καὶ τοὺς φ[ί]λους ἐνοχλήσας καὶ θεὶς ἐπὶ τὴν τράπεζαν τὰς τετταράκοντα μνᾶς ἧκον ὡς τὴν Ἀντι]γόναν. κἀκε[ίνη] σ[υνήγα]γεν [ἡ]μᾶς εἰς τὸ αὐτό, ἐμέ τε καὶ [Ἀθηνο]γ[έ]νην, κα[ὶ διή[λλ]αξε, καὶ παρεκελεύσατ[ο τ]οῦ λοιποῦ εὖ ποιεῖν ἀλλήλους. καὶ ἔγωγ’ ἔφην ταῦτα ποιήσειν, καὶ Ἀθηνογένης οὑτοσὶ ὑπολαβὼν εἶπε[ν, ὅ]τι τ[ῶν] πεπρα[γ]μέν[ω]ν δε[ῖ] με χάριν ἔχειν Ἀντ[ι]γόναι. ‘καὶ νῦν‘ ἔφη ‘ταύτης ἕνεκα ἤδη σοι ἐνδείξομαι, ὅσα σε ἀγα[θὰ] ποιήσω. σὺ μὲ[ν γάρ]‘ ἔφη ‘[τὸ] ἀργύριον ἐπ’ ἐλευθερίᾳ καταβαλε[ῖ]ς το[ῦ Μίδο]υ καὶ τῶν παίδων· ἐγὼ δέ σοι ἀποδώ[σ]ομαι αὐ τοὺς ὠνῆι καὶ πράσε[ι], ἵνα πρῶτον μὲν μηδείς [σ]ε [ἐ]νοχ[λ]ῆ [μη]δὲ διαφθείρ[η] τὸν π[α]ῖδα, ἔ[π]ε[ι]τ’ αὐτοὶ μὴ ἐγχειρῶσι π[ο]νηρε[ύ]εσθαι μηδὲν διὰ τὸν φόβ[ον]. τὸ δὲ μέγιστον· νῦν μὲν ἂν δόξειαν δι’ ἐμὲ γεγονέναι ἐλεύθεροι· ἐὰν δὲ πριάμενος σὺ ὠνῆι καὶ πράσει εἶθ’ ὕστερον, ὅτε ἄν σοι δοκῆι, ἀφῇς αὐτοὺς ἐλευθέρους, διπλασίαν ἕξου σίν σοι τὴν χάριν.

Athen 3 ὅσον μέντοι ὀφείλουσιν ἀ[ρ]γύριον, μύρου τέ τινος τιμὴν Παγκάλωι κ]αὶ Προκλεῖ καὶ εἴ τι ἄλλο κατέθετό τις ἐπὶ τὸ μυροπώλιον τῶν προσφοιτώντων, οἷ α γίγνεται, ταῦτα‘ ἔφη ‘σὺ ἀναδέξηι. ἔστιν δὲ μικρὰ κομιδῆι, καὶ πολλῶι πλείω φορτία ἐστὶν τούτων ἐν τῶι ἐργαστηρίωι, μύρον καὶ ἀλάβαστροι καὶ ζμύρνα‘, καὶ ἄλλ’ ἄττα ὀνόματα λέγων, ‘ὅθεν πάντα ταῦ τα δ[ιαλυθ]ήσε[ται] ῥαιδίωσ‘. ἦν δὲ ὦ ἄνδρες δικασ[τ]αὶ ὡς ἔοι[κ]εν ἐνταῦθα ἡ ἐπιβουλὴ καὶ τὸ πλάσμα τ[ὸ] μέγα. εἰ μὲν γὰ[ρ] ἐπ’ ἐλευθερίαι καταβάλ[λ]οιμι αὐτῶν τὸ ἀργύριον, τοῦτο μόνον ἀπ[ώ]λλυον ὃ δοίην αὐτῶι, ἀ[λλ’] οὐδὲν δεινὸν ἔπασχον· εἰ δὲ πριαίμην ὠ]νῆι καὶ πράσει, ὁμολογήσας αὐτῶι τὰ χρέα ἀναδέξασθαι, ὡς οὐθενὸς ἄξια ὄντα, δ[ιὰ] τὸ μὴ π[ρο]ειδέναι, ἐπάξειν [μ]οι ἔμελλεν ὕστερον τοὺς χρ[ησ]τὰς καὶ τοὺς πληρωτὰς τῶν ἐράνων, ἐν ὁμολογίαι λαβών· ὅ περ ἐποίησεν. ὡς γὰρ εἰπόντος αὐτοῦ ταῦτα ἐγὼ προσωμολόγησα, εὐθὺς ἐκ τῶν γονάτων λαβὼν [τῶ]ν αὑτοῦ γραμματεῖόν τ[ι τὸ ἐγ]γεγραμμένον ἀνεγίγνωσκ[εν· ἦσαν δὲ αὗται συνθῆκαι πρὸς ἐμέ· ὧν ἐγὼ ἀναγιγνωσκομένων μὲν ἤκουον, ἔσπευδον μέντοι ἐφ’ ὃ ἧκον τοῦτο διοικήσασθαι. [25]

Athen 4 καὶ σημαίνεται τὰς συνθήκας εὐθὺς ἐν τῇ [α]ὐ[τ]ῇ οἰκίᾳ, ἵνα μηδε[ὶ]ς τῶν εὖ φρονούντων [ἀ]κούσαι τὰ ἐγγεγραμμένα, προσεγγράψας μετ’ ἐμοῦ Νίκωνα τὸν Κη φισ 〈ι〉 έα. ἐλθόντες δ’ ἐπὶ τὸ μυροπώλιον τὸ μὲν γραμματεῖον τιθέμεθα παρὰ Λυσι κλεῖ Λευκονοεῖ· τὰς δὲ τετταράκοντα μνᾶς ἐγὼ καταβαλὼν τὴν ὠνὴ[ν] ἐποιη σάμην. τούτου δὲ γενομένου προσῄεσάν μοι οἱ χρησταί, οἷς ὠφείλετο παρὰ τῶι Μίδαι, καὶ οἱ πληρωταὶ τῶν ἐράνων, καὶ διε]λέγοντό μοι· [κ]αὶ ἐν τρισὶν μησὶν ἅπαντα τὰ χρέα φανερὰ ἐγεγόνει, ὥστ’ εἶναί μοι σὺ]ν τοῖς ἐράνο[ι]ς, ὅπερ καὶ ἀρτίως εἶπον, πε ρὶ π]έντε τάλαντα. ὡς δ’ ᾐσθόμην οὗ ἦν κακοῦ, τότ’ ἤδη τοὺς φίλους καὶ τοὺς οἰκείους συνήγαγον, καὶ τὰ ἀντίγραφα τῶν συνθηκ[ῶν ἀνεγιγνώσκομεν, ἐν αἷς ἐγέγραπτο μὲν τὸ τοῦ Παγκάλου καὶ τοῦ Πολυκλέους ὄνομα διαρρήδην, καὶ ὅτι μύρων τιμαὶ ὠφείλοντο· ἃ ἦν βραχέα τε καὶ ἐξῆν αὐτοῖς εἰπεῖν, ὅτι τὸ μύρον ἄξιον εἴη τοῦ ἀργυρίου τὸ ἐν τ[ῶι ἐ]ργαστηρίωι· τὰ δὲ πολλὰ τῶν χρεῶν καὶ τὰ μέγιστα οὐκ ἐν[ε]γέγραπτο ἐπ’ ὀνο μάτων ἀλλ’ ἐν προσθήκης μέρει, ὡς οὐδὲν ὄντα· ‘καὶ εἴ τωι ἄλλωι ὀφείλει τι Μίδασ‘. [25]

Athen 5 καὶ τῶν ἐράνων εἷς μὲν οὖν ⟦ Δικαιοκράτησ ⟧ ἐνεγέγραπτο, οὗ ἦσαν λοιπαὶ τρεῖς φοραί· οὗτος μὲν ἐπὶ τοῦ Δικαιοκράτους ὀνόματος [ἦ]ν γεγραμμένος, οἱ δ’ ἄλλοι ἐφ’ οἷς εἰλήφει πάντα ὁ Μίδας (νεοσύλλογοι δ’ ἦσαν), τούτους δ’ οὐκ ἐνέγραψεν ἐν ταῖς συνθήκαις, ἀλλ’ ἀπεκρύψατο. βουλευομένοις δ’ ἡμῖν ἔδοξεν πορεύεσθαι πρὸς τοῦτ[ο]ν καὶ διαλέγεσθαι, καὶ κα[τ]αλαβόντες αὐτὸν πρὸς τοῖς μυροπωλίοις ἠρω[τ]ῶμεν, εἰ οὐκ αἰσχύνοιτο ψευδόμενος κα[ὶ ἐν]εδρεύσας ἡμᾶς ταῖς συνθήκαις, οὐ προειπὼν τὰ χρέα. ὁ δ’ ἀπεκρίνατο ἡμῖν, ὡς οὔτε τὰ χρέα γιγνώσκοι ἃ λέγομεν, οὔτε προσέχοι ἡμ[ῖν] τὸν νοῦν, γραμματεῖόν τ’ εἴη αὐτῷ κεί[μ]ενον πρὸς ἐμὲ περὶ τού[τ]ων. πολλῶν δ’ ἀ[ν]θρώπων σ[υλλ]εγομένων καὶ ἐπακουόν[τ]ων τοῦ πρά[γ]ματος, διὰ τ[ὸ] ἐν τῆι ἀγο ρᾶι τοὺς λόγους γίγνεσθαι, [κ]αὶ κατατεμνόντων αὐτὸν κελευόν[τ]ων τε [ἀ]π[άγ]ειν ὡς ἀνδραποδι[σ]τή[ν, τοῦτο μὲ]ν οὐκ ᾠιόμεθα δεῖν ποιεῖν, πρ[οσεκαλεσά]μεθα δὲ αὐ τὸν εἰς ὑμᾶς κατὰ [τὸν νόμ]ον. πρῶτον μὲν οὖν ὑμῖν τὰς σ[υνθή]κας ἀναγνώσεται· ἐξ [αὐτῶ]ν γὰρ τ[ῶν γ]εγρα[μμένων μαθήσεσθε τὴν ἐπιβουλὴν αὐτοῦ τού του. [25]

Athen 6 λέγε τὰς συνθήκας. ΣΥΝΘΗΚΑΙ. Τὰ μὲν το[ίν]υν πεπραγμένα ὦ ἄνδρες δι κασταὶ καθ’ ἓν ἕκαστον ἀκηκόατε. ἐρεῖ δὲ πρὸς ὑμᾶς αὐτίκα μάλα Ἀθηνογένης, ὡς ὁ νόμος λέγει, ὅσα ἂν ἕτερος ἑτέρωι ὁμολογήσῃ, κύρια εἶναι. τά γε δίκαια ὦ βέλτιστε· τὰ δὲ μὴ τοὐναντίον ἀπαγορεύει μὴ κύρια εἶναι. ἐξ αὐτῶν δέ σοι τῶν νό μων ἐγὼ φανερώτερον ποιήσω. καὶ γὰρ οὕτω με διατέθηκας καὶ περίφοβον πεποίηκας, μὴ ἀπόλωμαι [ὑ]πὸ σοῦ καὶ τῆς δεινότητος τῆς σῆς, ὥ[σ]τε τούς τε νόμους ἐξετάζειν καὶ μελετᾶν νύκτα καὶ ἡμέραν, πάρεργα τἆλ[λα π]άντα ποι ησάμενον. ὁ μὲν τοίνυν εἷ[ς] νόμος κελεύ[ει] ἀψευ[δ]εῖν ἐ[ν] τῆι ἀγ[ορᾶι], πάντων οἶμα[ι π]αρά[γγελ]μα κάλ[λιστο]ν παραγγέλλων. σὺ [δὲ ψε]υσάμενο[ς ἐν] μέσηι τῇ ἀγορᾷ συν[θήκα]ς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατ’ ἐμο[ῦ ἔθ]ου· ἐπεὶ ἐὰν δ ......... ων ἐμ[οὶ το]ὺς ἐράνους ............ ἐν ταῖς συν]θήκαι[ς], ὅ σους [ἐπυθόμην, οὐδὲν ἀντιλέ]γω σοι, ἀλ λ’ ὁμολογ[ῶ ὀφείλειν. μετὰ δὲ τ]αῦτα ἕτερο]ς νόμο[ς ἐστὶ περὶ ὧν ὁμολογοῦντες ἀλλήλοις συμβάλλουσιν, ὅταν τις πωλῆι ἀνδράποδον, προλέγειν, ἐάν τι ἔχηι ἀρρώστημα· εἰ δ[ὲ μ]ή, ἀναγωγὴ τούτου ἐ στίν.

Athen 7 καίτοι ὅπου τὰ παρὰ τῆς τύχης νοσήματα ἂν μὴ δηλώσηι τις πωλῶν οἰκέτ[ην ἀνάγειν ἔξεστι, πῶς τά γε παρὰ σοῦ ἀδικήματα συσκευασθέντα οὐκ ἀναδε κτέον σοι ἐστίν; ἀλλὰ μὴν τὸ μὲν ἐπίληπτον ἀνδράποδον οὐ προσαπολλύει τοῦ πριαμένου τὴν οὐσίαν· ὁ δὲ Μίδας, ὃν σύ μοι ἀπέδου, κ[α]ὶ τὴν τῶν φίλων τῶν ἐμῶν ἀπολώλεκ[ε]. σκέψαι δὲ ὦ Ἀθηνόγενες μὴ μόνον περὶ τῶν οἰκετῶν, ἀλλὰ καὶ περὶ τῶν ἐλευθέρων σωμάτων ὃν τρόπον οἱ νόμοι ἔχουσιν. οἶσθα γὰρ δήπου καὶ σὺ καὶ 〈οἱ〉 ἄλ[λ]οι πάντες, ὅτι οἱ ἐκ τῶν ἐγγυητῶν γυναικῶν παῖδες, οὗτοι γνήσιοί εἰσ[ι]ν. ἀλ[λὰ] μ[ὴν οὐκ ἀπ]έ[χρ]ησε τῶι νομοθ[έτηι] τὸ ἐγγ[υηθῆ]ναι τὴν γυναῖκα ὑπὸ [τοῦ πατ]ρὸς [ἢ τοῦ ἀδ]ελφοῦ, ἀλλ’ ἔγραψε δι[αρρή]δην ἐν [τῶι νόμ]ωι· [ἣν] ἂν ἐγγυήσηι τ[ις ἐπὶ δικαίοις δάμαρτα], ἐκ ταύτης εἶνα[ι παῖδας γνησίους, καὶ οὐ]κ· ἐάν τις ψευσ[άμενος ὡς θυγατέρα ἐγ]γυήσηι ἄλ[λην τινά. ἀλλὰ τὰς μὲν δι]καίας ἐγγύας κ[υρίας, τὰς δὲ μὴ δικαίας ἀκύρους] καθί στη[σιν. ἔτι δὲ καὶ ὁ περὶ] τῶ[ν] διαθηκῶν ν[όμο]ς παρ[α]πλήσιος τούτοις ἐστίν· κελεύε[ι γὰρ ἐξεῖν]αι τὰ ἑαυτοῦ [δια]τίθεσθα[ι ὅπως ἄν] τις βούληται, πλὴν [ἢ γή]ρως ἕνε[κεν] ἢ νόσου ἢ μανιῶν ἢ γυ[ναικὶ] πειθόμ[ενο]ν ἢ [ὑπὸ] δεσμοῦ ἢ ὑ[π]ὸ [ἀνά]γ κης κ[ατ]αληφθ[έντ]α.

Athen 8 ὅπου δὲ οὐδὲ [περὶ] τῶν αὑτοῦ ἰδίων αἱ μ[ὴ δ]ίκαιαι διαθῆκαι κύριαί εἰσιν, πῶς Ἀθηνογ[έ]νει γε κατὰ [τ]ῶν ἐμῶν συνθεμέν[ωι] τοιαῦτα δεῖ [κ]ύ[ρι]α εἶ ναι; καὶ ἐὰν μέν τι[ς] ὡς ἔοικ[ε]ν τῇ ἑαυτοῦ γυναικὶ πειθόμενος διαθήκας [γρά]ψῃ, ἄκυροι ἔσο[ντα]ι· ε[ἰ] δ’ ἐγὼ τῆι Ἀθηνογ[ένο]υς ἑταίραι ἐπε[ί]σθην, προσαπολωλέναι μ[ε] δεῖ, ὃς ἔχω μ[ε]γ[ί]στην βοήθειαν τὴν ἐν τῶι νόμωι γεγραμμένην, ἀναγκασθεὶς ὑ πὸ τούτων ταῦτα συνθέσθαι; εἶτα σὺ ταῖς συνθήκαις ἰσ[χυρί]ζηι, ἃς ἐνεδρεύσαντές με σὺ κ[α]ὶ ἡ ἑτ[αίρα] σο[υ ἐσ]ημήνασθε, καὶ ὑπὸ] .............. β[ου]λεύσεως ὑμᾶς κε.............. ς εἶναι, ἐπὶ τούτοις προσεδεξάμην οἷς ἐγράψα]τε· καὶ οὐ[χ ἱ]κανόν σοι ἦν τὰς τετταράκον]τ[α μ]νᾶς εἰληφέναι ὑπὲρ τοῦ μυροπωλίου, ἀ]λλὰ καὶ πέντε τάλαντα προσαφείλου] με, ὥσπερ [ὑ]πὸ .. ..... ποδοστράβηι κατ]ειλημμένον. [Ἐρεῖ δ’ ἴσως Ἀθηνογένης ὡ]ς οὐκ ᾔδε[ι ... ................... Μίδαν ἀλ .... .................. σθέντα λ ... ς .

Athen 9 ............ εἰς τὰ ἐν ἀγορᾶι, ἀτρέ[μα δ’ [ἔχων, ἐν τρισὶ] μησὶν ἅπαντα τ[ὰ] χρέα καὶ τ[οὺς ἐράν]ους ἐπυθόμην· οὗτ[ος] δὲ ὁ ἐκ τριγ[ο]νίας [ὢν] μυροπώλης, καθ[ήμε]νος δ’ ἐν τῆ[ι] ἀγο[ρᾶι] ὅ[σ]αι ἡμέραι, τρία [δὲ μυ]ροπώλια κεκτη[μένος], λόγους δὲ κατ[ὰ] μῆνα λαμβάνω[ν, οὐκ] ᾔδει τὰ χρέα. ἀλλ’ ἐν μὲν τοῖς ἄλλοις οὐκ [ἰ]διώτης ἐστίν, πρὸς δὲ τὸν οἰκέτην οὕτ[ως ε]ὐήθης ἐγένετο, καὶ τινὰ μὲν τῶν χρ[εῶ]ν ὡς ἔοικεν ἤιδει, τὰ δέ φησιν οὐκ εἰδέναι, ὅσα μὴ βούλεται. ὁ δὲ τοιοῦτο[ς αὐτοῦ] λόγος ὦ ἄνδρες δ[ικασ]ταὶ οὐκ ἀπολόγημ]ά ἐστιν, ἀλλ’ ὁμολόγημα ὡς οὐ δεῖ με τὰ χρέα] δ[ιαλ]ύειν· ὅταν γὰρ φῆι μὴ εἰδέναι ἅ[παντα] τὰ ὀφειλόμενα, οὐκ ἔστιν αὐτῶι δήπου [τόδ]’ εἰπεῖν, ὡς προεῖπέ μοι περὶ τῶν χρεῶν· ὅσα δ’ οὐκ] ἤκουσα παρὰ τοῦ πωλοῦντος, [ταῦ τ[α οὐ δίκαιός] εἰμι διαλύειν. ὅτι μὲν οὖν ἤιδεις ὦ Ἀθηνό]γενες ὀφείλοντα Μ[ίδαν] τὰ χρήματα ταῦτα], οἶμαι πᾶσιν εἶναι δῆλ[ον ἐξ ἄλλων τε πολ]λῶν καὶ ἐκ τοῦ αἰτεῖν [σε τὸν Νίκωνα ὑπὲρ ἐ]μοῦ ἐγγυητ[ή]ν, εἰ ..... .......... τ]ὰ χρέα ὄντα ἱκανὸ[ν ..... ........... νο . οὐ μὲν δὴ ἐγὼ ..... ........... τῶι] λόγωι σοῦ τούτ[ωι ... .............. ος καὶ οὐκ εἰλ ..... ................ νος καὶ τωι ..... ............. τ]ουτονὶ τὸν τ[ρόπον. ε]ἰ σὺ μὲν διὰ τὸ μὴ εἰδέναι μὴ προεῖπάς μο]ι πάντα τὰ χρέα, ἐγὼ δὲ ὅσα σου ἤκουσα τα[ῦ]τα μόνον οἰόμενος εἶναι τὰς συνθήκας ἐθέμην, πότερος δίκαι[ό]ς ἐστιν ἐκτεῖσα]ι; ὁ ὕσ[τ]ερος πριάμενος ἢ [ὁ π]άλαι κεκτη μένος, ὅτ’ ἐδανείζετο; ἐγὼ μὲν γὰρ οἴομαι σέ.

Athen 10

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰ δ’ ἄρ’ ἀντιλέγομεν περὶ τούτου, διαιτητὴς ἡμῖν γενέσθω ὁ νόμος, ὃν οὐχ οἱ ἐρῶντε[ς ο]ὐδ’ οἱ ἐπιβουλεύοντες τοῖς ἀλλ]οτρίοις ἔθεσαν ἀλλ’ ὁ δημοτικώτατος] Σόλων· ὃς εἰδὼς ὅτι πολλαὶ ὠναὶ γίγνον]ται ἐν τῇ πόλει, ἔθηκε νόμον δίκαιον, ὡς] παρὰ πάντων ὁμολογ[ε]ῖται, τὰς ζημίας ἃς ἂν] ἐργάσωνται οἱ οἰκέται καὶ τὰ ἀναλώμ]ατα διαλύειν τὸν δεσπότην παρ’ ὧι ἂν ἐργάσ]ωνται οἱ οἰκέται. εἰκότως· καὶ γὰρ ἐάν τι ἀγ]αθὸν πράξηι ἢ ἐργα[σ]ίαν εὕρ[ηι] ὁ ο[ἰκέτης, το]ῦ [κ]εκτημένου αὐ[τ]ὸν γ[ίγ]νετ[αι. σὺ δὲ τὸν] νόμον ἀφεὶς περὶ συνθ[ηκῶν παραβαιν]ομένων διαλέγῃ. καὶ ὁ [μὲν Σόλων οὐδ’ ὃ] δικαίως ἔγραφεν ψήφ[ισμά τις τοῦ νόμου] οἴεται δεῖν κυριώ[τ]ε[ρον εἶναι· σὺ δὲ καὶ τ]ὰς ἀδίκους συνθ[ήκας ἀξιοῖς κρατεῖν πάντων] τῶν νόμων. Καὶ π[ρὸς τούτοις ὦ ἄνδρες δικασταὶ τῷ τε πατ[ρὶ τῶι ἐμῶι καὶ τοῖς ἄλλοις ἐπιτ]ηδείοις ἔλ[εγεν, ὡς .... ................. ἐθέλ ........... ................ δ]ωρεὰν .......... κε .

Athen 11 . , τὸν δὲ Μίδαν κελεύσ[α]ς ἐᾶν αὑτῶι καὶ μὴ ὠνεῖσθαι, ἐμὲ δ’ οὐκ ἐθέλειν, ἀλλὰ βούλεσθαι πάντας πρίασθαι. καὶ ταῦτα καὶ πρὸς ὑμᾶς αὐτόν φασιν μέλλει〈ν〉 λέγειν, ἵνα δὴ δοκοίη μέτριος εἶναι, ὥσ[πε]ρ πρὸς ἠλιθίους τινὰς διαλεξόμενος καὶ οὐκ αἰσθησο μένους τὴν τούτου ἀναίδ[εια]ν. τὸ δὲ γενόμενον δεῖ ὑμᾶς ἀκοῦσα[ι· φαν]ήσεται [γ]ὰρ ἀκόλουθον ὂν τῆι ἄλλη[ι α]ὐτῶν ἐπιβο[υλῆι.] τὸν μὲν γὰρ παῖδα, ὅνπ[ερ ἀρ]τίως εἶπο[ν, ἔπε]μπέ μοι λέγοντα, ὅτι οὐκ [ἂν συ]νείη μ[οι, εἰ μὴ λ]ύσομαι αὐτοῦ τὸν πα[τέ]ρα καὶ τὸν [ἀδελφ]όν. ἤδη δ’ ἐμοῦ ὡμολ[ογη]κότος [αὐτῶν κα]ταθήσειν τριῶν ὄν[τω]ν τὸ ἀρ[γύριον, προ]σελθὼν ὁ Ἀ[θ]ηνογ[έ]νης πρός [τινας τῶν] φίλων τῶν ἐμῶν, ‘[τί] βού[λ]ετ[αι‘, ἔφη, ‘Ἐπ]ικράτης πράγματα ἔχειν, [ὧι ἔξεστι λα]βόντι τὸν παῖδα [χρ]ῆσθ[αι .... ...... τὴν μὲν συκοφα[ντίαν ....... ..... ἐ]ποιεῖτο, τῶι δὲ λ ........... ...... ἀ]δικημάτων κα .......... ..... ἐπ]ίστευσα [ὡ]ς ἐγ[ὼ .......... ..... τὸ]ν μὲν παῖδα δι .......... ........ ν οὐκ ἤθελο[ν .......... .......... γοῦν τετ[ταράκοντα μνᾶς ....... πέν]τε τάλα[ντα .......... ........... δ .... ο ............ (deesse videtur unus versus.) [οὔτε μυροπώλη]ς εἰμὶ οὔτ’ ἄλλην τέχνην ἐργάζο[μαι, ἀλ]λ’ ἅπερ ὁ πατήρ μοι ἔδωκεν χωρία .

Athen 12 ... τ[α]ῦτα γεωργῶ, πρ[ὸς] δὲ τούτ]ων ε[ἰς τὴν] ὠνὴν ἐνεσείσθην. πότερα γὰρ εἰκός ἐσ]τιν ὦ Ἀθηνόγενες ἐμὲ τῆς σῆ[ς τέχνης ἐπιθ]υμῆσαι, ἧς οὐ[κ] ἤμην ἔμπειρος, ἢ σὲ καὶ τ]ὴν ἑταίραν τοῖς [ἐ]μοῖς ἐπιβουλεῦσαι]; ἐγὼ μὲν γὰρ οἴομαι ὑμᾶς. Διόπερ ὦ ἄνδρες] δικασταὶ ἐμοὶ μὲν ἂν εἰκότως συγγνώ]μην ἔχοιτ’ [ἀ]πα[τη]θῆναι .......... καὶ ἀτυχῆσαι τ[οιού]τω[ι ἀνθρώπωι περ]ιπεσόντα, Ἀθην[ογένει δὲ] ... (desunt vss. XVI) ενε[ .

Athen 13 ....... π]άντα ἐμοὶ εἶναι, τὰ δὲ τῆς ἀ πάτ[ης κέρδη αὐτ]ῷ· καὶ τὸν μὲν Μίδαν τὸν τολ ........... ξαι, ὃν ἄκων φησὶν ἀ[πο]λῦσαι, τοῦτ[ον ....... λα]βεῖν· τοῦ δὲ παιδός, [ὃν] τότε προῖκ[ά μοί φησιν] διδόναι, νῦν αὐτ[ὸν λ]αβεῖν ἀργύρ[ιον πολὺ πλε]ῖον τῆς ἀξίας, οὐχ ὥ[σ]τε ἐμὸν ε[ἶναι, ἀλλ’ ὥστε ὑφ’ ὑμῶν] τῆι ψήφω[ι] ἐλεύθε ρον ἀφ[ίεσθαι. αὐτὸς μέ]ντοι οὐκ ἀξιῶ πρὸς [τοῖς ἄλλοις καὶ ἀτι]μωθῆνα[ι ὑ]π’ Ἀθηνογέν[ους. καὶ γὰρ ἂν] δεινὸν [συ]μβαίνοι μ[οι ὦ ἄνδρες δικασ]ταί, εἰ μ ... τος .......... εις .. ον ἥμαρτο[ν] ... διε ......... κος .... μία δὲ κ .... ου ......... ιος [ἠδί]κηκεν ο .... ρε .............. ἀ]δικήσαντ ...... ............... τ]ιμήματι δι ..... ................. ται πολιτ ...... ................. νος ἐνίοτε ..... (desunt vss. X) μώτατοι τῶν μετοίκων ἀφυ[λάκτως ἔρ χεσθαι.

Athen 14 ἐν δὲ τῶι πολέμωι τῶι πρ[ὸ]ς Φ[ίλι〈π〉 πον μικρὸν πρὸ τῆς μάχης ἀπέ[λιπε τ]ὴν πόλ[ι]ν, καὶ μεθ’ ὑμῶν μὲν οὐ συνεστρατεύσ[ατ]ο εἰς Χαιρώνεια[ν], ἐξῴκησε δὲ εἰς Τ[ροιζῆνα, παρὰ τὸν νό[μ]ον ὃς κελεύει ἔν[δειξιν [εἶναι] καὶ ἀπαγωγὴν τοῦ ἐξοικήσαντος [ἐν τῶι πολέμωι, ἐὰν π[ά]λιν ἔλθηι. καὶ τα[ῦτα ἐποίει τ[ὴ]ν μὲν ἐκείνω[ν] πόλιν ὡς ἔοικ[ε περιέσε[σθ]αι ὑπολαμβ[άνω]ν, τῆς δ’ ἡμε[τέρας θάνα[το]ν καταγνο[ύς]. καὶ τὰς θυγα[τέρας ἐν τῆι παρ’ ὑμῖν εὐδαι[μον]ίαι ἐκθρ[έ]ψα[ς ..... .... ἐξέδωκε .. δ ..... ὡς πάλιν η ...... σπ .. ἐργασόμε[νος, ἐπ]εὶ εἰρήνη γέ[γονεν· τ[αῦ]τα γὰρ ὑμῖ[ν .... ]ασιν οἱ χρης ....... ... ο]ὗτοι ποι ...... τῆι εἰρήνηι τ ....... .... ρπων ........ ἐν τοῖ[ς] κιν[δύνοις .. .... ριπ ......... μὲν ἐ[ν] Πλατα[ιαῖς ... ............... δήσαντες ο ........ ............. Ἀθη]νογ[ένη]ς π ......... ............... χειν ... νω ......... ............... το .... υθ ........ (desunt

Eulogikon public reading copy · View original HTML at eulogikon.org

v. VI) ……. [τὰς κοινὰ[ς] τῆς πόλεως συνθήκας παραβάς, ταῖς ἰδίαις πρὸς ἐμὲ ἰσχυρίζεται, ὥσπερ ἄν τινα πεισθέντα, ὡς ὁ τῶν πρὸς ὑμᾶς δικαίων καταφρονήσας, οὗτος ἂν τῶν πρὸς ἐμὲ] ἐφρόντιζεν.

Athen 15 ὃς οὕτω πονηρός ἐστι καὶ πανταχοῦ ὅμοιος, ὥστε καὶ εἰς Τροιζῆνα ἐλθὼν καὶ ποιησαμένων αὐτὸν Τροιζηνίων πολίτην ὑποπεσὼν Μνησίαν τὸ]ν Ἀργεῖον καὶ ὑπ’ ἐκείνου κατασ[τα]θεὶς ἄρχω]ν ἐξέβαλεν τοὺς πολίτας ἐκ τῆς πόλ]εως, ὡς ὑμῖν αὐτοὶ μαρτυρήσουσιν· ἐ]νθάδε γὰρ φεύγουσιν. καὶ ὑμεῖς μὲν ὦ ἄνδρ[ε]ς δικασταὶ ἐκπ[ε]σόντας αὐτοὺς ὑπεδέξ]ασθε, καὶ πολίτας ἐποιήσασθε, καὶ τῶν ὑμετέρων ἀγαθῶν πάντων μετέδοτε, ἀπομνημονεύσαντες τὴν εὐεργεσίαν τὴ]ν πρὸς τὸν βάρβαρον δι’ ἐτῶν πλει[ό]νων ἢ πε]ντήκοντα κ[αὶ] ἑκατόν, καὶ οἰόμενοι δεῖν] τοὺς ἐν τοῖς κινδύνοις ὑμῖν χ[ρ]ησίμους γενομένους, τούτο[υ]ς ἀτυχοῦντ[ας π]ερι[ποιηθῆναι] ὑφ’ ὑμῶν· οὗτος δὲ ὁ μιαρός, [ὁ] ἀφεὶς ὑμᾶς κἀ]κεῖ ἐγγραφ[εί]ς, οὔτε τῆς πολ[ι]τεί[ας οὔτε τοῦ ἤθο]υς τῆς [π]όλεως [ο]ὐδὲν [ἐ]πετήδευεν ἄξι]ον, ἄλ[λ’ οὕτ]ως ὠμῶς τοῖς ὑπο[δεξαμένοις α]ὐτὸν [ἐχρ]ήσατο, ὥστε [μ]ετα ……… το ἐν τῆι ἐκκλησία[ι …… ………… κατὰ τοῦτ[ο …….. ι (deest versus unus) ραν δεδ[ιὼς .

Athen 16 …. ]ιν κατέφ[υγ]εν. καὶ ταῦτα ὅτι ἀληθῆ λέ[γω, ἀνα]γνώσεται ὑμῖν πρῶτον μὲν τὸν νό[μ]ον, [ὃς] οὐκ ἐᾶι τοὺς μετοίκους ἐξοι[κεῖ]ν ἐ[ν τῶι π]ολέμωι, ἔπειτα τὴν Τροιζη[νίων] μαρ[τυ]ρίαν, πρὸς δὲ τούτοις τὸ τῶν [Τροιζηνίω]ν ψήφισμα, ὃ ἐψηφίσαντ[ο τῆι πόλει τῆι ὑμ]ετέραι, δι’ ὃ ὑμεῖς αὐτοὺς ὑπέδεξασθε] καὶ [π]ολίτας ἐποιήσασθε. ἀνάγνωθι]. [ΝΟΜΟΣ] ΜΑΡΤΥΡΙΑ. [ΨΗΦΙΣΜΑ]. Λα[βὲ δή μοι καὶ τὴ]ν τοῦ κηδ[εστ]οῦ αὐτοῦ μ[αρτυρίαν ….. ]μεν οὐσια …. ιλατ … πα[ ………. κα]ταλειφ[θέντ ….. ]ν … ἀδ[ ……….. ἐ]ξῆς πα … ω …. εα … πρ ……….. ν Ἀντιγ[όν ………. ε …………. μαρτ[υρ ………….. (desunt vss. X) ……. [πραχθέντα, καὶ ὃν [τρ]όπον ἐ[πιβεβούλευκέν μοι Ἀθηνογένης, καὶ ὡς ὑμῖ[ν προσενήνεκται.

Athen 17 τὸν δὴ καὶ ἰδία[ι] πονηρὸν [καὶ τῆς πόλεως τὴν σωτηρίαν ἀπελπίσαν[τα καὶ ὑμᾶς ἐγκαταλιπόντα καὶ παρ’ οὓς ἐξ[ώικησεν ἀναστάτους ποιήσαντα, [τοῦτον ὑμεῖς συνειληφότες οὐ κολάσετε; κ[αὶ ἐγὼ ὦ ἄνδρες δ[ι]κασταὶ δέομαι ὑμῶν [καὶ ἀντιβολῶ ἐλεῆσαί] με, ἐκεῖνο σκεψαμέ[νους, ὅτι προσήκει ἐν τα]ύτηι τῆι δίκηι τ ………… ……. σιν ἐλεεῖν οὐ τὸν φ ……… ……. ἐὰ]ν ἁλῶι, οὐδὲν πάσχε[ιν …. ………. δε τοτ .. τι παλ ……… ……. δ’ ἂν ἀπ[οφ]ύγηι μο ……….. ….. ἀπολο]ῦμαι. οὐ γὰρ ἂν δ[υναίμην … ………. ν οὐδὲ [π]ολλοστ[ὸν μέρος … ………. ψ .. ν …. αι ἀχρ …….. ……. ὦ] ἄνδρ[ες δικ]αστ[αί ………. ……. υς ἐξ α[ὐτ]ῶν . π …………. (desunt vss. VIII)

Eulogikon public reading copy · View original HTML at eulogikon.org